# ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ

1 *Παῦλος ἀπόστολος Χριστοῦ Ἰησοῦ διὰ θελή-*
R 1,7. 2 *ματος θεοῦ καὶ Τιμόθεος ὁ ἀδελφὸς* [1] *τοῖς ἐν*
*Κολοσσαῖς ἁγίοις καὶ πιστοῖς ἀδελφοῖς ἐν Χριστῷ·*
*χάρις ὑμῖν καὶ εἰρήνη ἀπὸ θεοῦ πατρὸς ἡμῶν.*
1 K 13,13. 1 Th 1,2.3. 3 *Εὐχαριστοῦμεν τῷ θεῷ πατρὶ τοῦ κυρίου ἡμῶν*

---

**Inscr.: TW** *προς Κολοσσαεις* **1,*3*** *θεω* **: T+** *και* **W+** *τω*

**1,*2*** *Κολασσαις* | *Χριστω* : + *Ιησου* | **fin** + *και κυριου Ιησου Χριστου*

Ἰησοῦ Χριστοῦ πάντοτε περὶ ὑμῶν προσευχόμενοι,
ἀκούσαντες τὴν πίστιν ὑμῶν ἐν Χριστῷ Ἰησοῦ καὶ 4 E 1,15.
τὴν ἀγάπην ἣν ἔχετε εἰς πάντας τοὺς ἁγίους ˡ διὰ 5 1 P 1,4.
τὴν ἐλπίδα τὴν ἀποκειμένην ὑμῖν ἐν τοῖς οὐρα-
νοῖς, ἣν προηκούσατε ἐν τῷ λόγῳ τῆς ἀληθείας
τοῦ εὐαγγελίου ˡ τοῦ παρόντος εἰς ὑμᾶς, καθὼς 6 1 T 3,16.
καὶ ἐν παντὶ τῷ κόσμῳ ἐστὶν καρποφορούμενον
καὶ αὐξανόμενον καθὼς καὶ ἐν ὑμῖν, ἀφ' ἧς
ἡμέρας ἠκούσατε καὶ ἐπέγνωτε τὴν χάριν τοῦ
θεοῦ ἐν ἀληθείᾳ· καθὼς ἐμάθετε ἀπὸ Ἐπαφρᾶ 7 4,12.
τοῦ ἀγαπητοῦ συνδούλου ἡμῶν, ὅς ἐστιν πιστὸς
ὑπὲρ ἡμῶν διάκονος τοῦ Χριστοῦ, ὁ καὶ δηλώσας 8
ἡμῖν τὴν ὑμῶν ἀγάπην ἐν πνεύματι. Διὰ τοῦτο 9 E 1,16.17. Ph 1,9.
καὶ ἡμεῖς, ἀφ' ἧς ἡμέρας ἠκούσαμεν, οὐ παυό-
μεθα ὑπὲρ ὑμῶν προσευχόμενοι καὶ αἰτούμενοι
ἵνα πληρωθῆτε τὴν ἐπίγνωσιν τοῦ θελήματος
αὐτοῦ ἐν πάσῃ σοφίᾳ καὶ συνέσει πνευματικῇ,
περιπατῆσαι ἀξίως τοῦ κυρίου εἰς πᾶσαν ἀρεσκίαν, 10 E 4,1. Ph 1,27.
ἐν παντὶ ἔργῳ ἀγαθῷ καρποφοροῦντες καὶ αὐξανό-
μενοι τῇ ἐπιγνώσει τοῦ θεοῦ, ἐν πάσῃ δυνάμει 11 1 K 1,5.
δυναμούμενοι κατὰ τὸ κράτος τῆς δόξης αὐτοῦ
εἰς πᾶσαν ὑπομονὴν καὶ μακροθυμίαν μετὰ χαρᾶς,
εὐχαριστοῦντες τῷ πατρὶ τῷ ἱκανώσαντι ὑμᾶς εἰς 12 2,15. L 22,53.
τὴν μερίδα τοῦ κλήρου τῶν ἁγίων ἐν τῷ φωτί·
ὃς ἐρύσατο ἡμᾶς ἐκ τῆς ἐξουσίας τοῦ σκότους 13 2,15.
καὶ μετέστησεν εἰς τὴν βασιλείαν τοῦ υἱοῦ τῆς
ἀγάπης αὐτοῦ, ἐν ᾧ ἔχομεν τὴν ἀπολύτρωσιν, 14 E 1,7.
τὴν ἄφεσιν τῶν ἁμαρτιῶν· ὅς ἐστιν εἰκὼν τοῦ 15 H 1,3. 2 K 4,4.

---

3 Χριστου : [H]—W | W παντοτε, | περι : hW υπερ 4 ην εχετε : [H] : W την 5 W αληθειας, 6 T εις υμας καθως ... ἐστίν, 7 ημων $2^{o}$ : hTW υμων 9.10 W αυτου, ... πνευματικη π. 10 RW αρέσκειαν 11.12 TW μακροθυμιαν, μετα χαρας ευχ. 12 πατρι : h pr θεω | ικανωσαντι : W pr καλεσαντι και | υμας : hR ημας 14 h εσχομεν

4 — ην εχετε 6 και εστιν καρπ. | — και αυξ. 7 καθως και 9 — και αιτ. 10 περιπατ. : + υμας | εις την επιγνωσιν 12 ευχαρ. : + αμα | τω ικανωσ. : τω καλεσαντι 14 απολυτρ. : + δια του αιματος αυτου

1 T 6,16. J 1,18. θεοῦ τοῦ ἀοράτου, πρωτότοκος πάσης κτίσεως,
J 1,3.10. 16 ὅτι ἐν αὐτῷ ἐκτίσθη τὰ πάντα ἐν τοῖς οὐρανοῖς
καὶ ἐπὶ τῆς γῆς, τὰ ὁρατὰ καὶ τὰ ἀόρατα, εἴτε
θρόνοι εἴτε κυριότητες εἴτε ἀρχαὶ εἴτε ἐξουσίαι·
Prv 8,25–27. 17 τὰ πάντα δι' αὐτοῦ καὶ εἰς αὐτὸν ἔκτισται· | καὶ
αὐτός ἐστιν πρὸ πάντων καὶ τὰ πάντα ἐν αὐτῷ
15. E 1,22. 18 συνέστηκεν, καὶ αὐτός ἐστιν ἡ κεφαλὴ τοῦ σώμα-
Act 4,2; 26,23. Ap 1,5. τος, τῆς ἐκκλησίας· ὅς ἐστιν ἀρχή, πρωτότοκος
ἐκ τῶν νεκρῶν, ἵνα γένηται ἐν πᾶσιν αὐτὸς πρω-
2,9. J 1,16. 19 τεύων, ὅτι ἐν αὐτῷ εὐδόκησεν πᾶν τὸ πλήρωμα
E 1,10. 1 J 2,2. 20 κατοικῆσαι | καὶ δι' αὐτοῦ ἀποκαταλλάξαι τὰ πάντα
εἰς αὐτόν, εἰρηνοποιήσας διὰ τοῦ αἵματος τοῦ
σταυροῦ αὐτοῦ, [δι' αὐτοῦ] εἴτε τὰ ἐπὶ τῆς γῆς
E 2,12; 4,18. 21 εἴτε τὰ ἐν τοῖς οὐρανοῖς. καὶ ὑμᾶς ποτε ὄντας
R 5,10. ἀπηλλοτριωμένους καὶ ἐχθροὺς τῇ διανοίᾳ ἐν τοῖς
E 5,27. 22 ἔργοις τοῖς πονηροῖς, νυνὶ δὲ ἀποκατήλλαξεν ἐν
τῷ σώματι τῆς σαρκὸς αὐτοῦ διὰ τοῦ θανάτου,
παραστῆσαι ὑμᾶς ἁγίους καὶ ἀμώμους καὶ ἀνεγκλή-
Mc 16,15. 23 τους κατενώπιον αὐτοῦ, εἴ γε ἐπιμένετε τῇ πίστει
1 T 3,16. H 3,14. τεθεμελιωμένοι καὶ ἑδραῖοι καὶ μὴ μετακινούμενοι
ἀπὸ τῆς ἐλπίδος τοῦ εὐαγγελίου οὗ ἠκούσατε, τοῦ
κηρυχθέντος ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανόν,
οὗ ἐγενόμην ἐγὼ Παῦλος διάκονος.
E 3,13. 24 Νῦν χαίρω ἐν τοῖς παθήμασιν ὑπὲρ ὑμῶν,
καὶ ἀνταναπληρῶ τὰ ὑστερήματα τῶν θλίψεων
τοῦ Χριστοῦ ἐν τῇ σαρκί μου ὑπὲρ τοῦ σώματος
25 αὐτοῦ, ὅ ἐστιν ἡ ἐκκλησία, | ἧς ἐγενόμην ἐγὼ διά-
κονος κατὰ τὴν οἰκονομίαν τοῦ θεοῦ τὴν δο-
θεῖσάν μοι εἰς ὑμᾶς πληρῶσαι τὸν λόγον τοῦ
R 16,25.26. 26 θεοῦ, τὸ μυστήριον τὸ ἀποκεκρυμμένον ἀπὸ τῶν

---

*16 εν 2°* : W pr *τα* | *επι* : R pr [*τα*] *17* H αὐτὸς ἔστιν *18* W *σωματος της* | *αρχη* : H pr [*η*] *20* [*δι αυτου*] : TW *21.22* H *πονηροις,* (W.) — *νυνι ... θανατου,* — *22* hW *αποκατηλλαγητε*

---

*22 αποκαταλλαγεντες* | *θανατου* : + *αυτου* *23 παση* : + *τη* *24 παθημασιν* : + *μου*

αἰώνων καὶ ἀπὸ τῶν γενεῶν — νῦν δὲ ἐφανερώθη
τοῖς ἁγίοις αὐτοῦ, οἷς ἠθέλησεν ὁ θεὸς γνωρίσαι 27 1 T 1,1. R 16,25.
τί τὸ πλοῦτος τῆς δόξης τοῦ μυστηρίου τούτου
ἐν τοῖς ἔθνεσιν, ὅ ἐστιν Χριστὸς ἐν ὑμῖν, ἡ ἐλπὶς
τῆς δόξης· ὃν ἡμεῖς καταγγέλλομεν νουθετοῦντες 28 22.
πάντα ἄνθρωπον καὶ διδάσκοντες πάντα ἄνθρω-
πον ἐν πάσῃ σοφίᾳ, ἵνα παραστήσωμεν πάντα
ἄνθρωπον τέλειον ἐν Χριστῷ· εἰς ὃ καὶ κοπιῶ 29 Ph 4,18.
ἀγωνιζόμενος κατὰ τὴν ἐνέργειαν αὐτοῦ τὴν ἐνερ-
γουμένην ἐν ἐμοὶ ἐν δυνάμει. Θέλω γὰρ ὑμᾶς 2
εἰδέναι ἡλίκον ἀγῶνα ἔχω ὑπὲρ ὑμῶν καὶ τῶν ἐν
Λαοδικίᾳ καὶ ὅσοι οὐχ ἑόρακαν τὸ πρόσωπόν μου
ἐν σαρκί, ἵνα παρακληθῶσιν αἱ καρδίαι αὐτῶν, 2 1,26.
συμβιβασθέντες ἐν ἀγάπῃ καὶ εἰς πᾶν πλοῦτος
τῆς πληροφορίας τῆς συνέσεως, εἰς ἐπίγνωσιν τοῦ
μυστηρίου τοῦ θεοῦ, Χριστοῦ, ˈἐν ᾧ εἰσιν πάντες 3 1,27. Is 45,8. Prv 2,8.4. 1 K 1,24.80.
οἱ **θησαυροὶ τῆς σοφίας** καὶ **γνώσεως ἀπόκρυφοι**.
Τοῦτο λέγω ἵνα μηδεὶς ὑμᾶς παραλογίζηται ἐν 4 R 16,18.
πιθανολογίᾳ. εἰ γὰρ καὶ τῇ σαρκὶ ἄπειμι, ἀλλὰ 5 1 K 5,8. 1 K 14,40.
τῷ πνεύματι σὺν ὑμῖν εἰμι, χαίρων καὶ βλέπων
ὑμῶν τὴν τάξιν καὶ τὸ στερέωμα τῆς εἰς Χριστὸν
πίστεως ὑμῶν.

Ὡς οὖν παρελάβετε τὸν Χριστὸν Ἰησοῦν τὸν 6
κύριον, ἐν αὐτῷ περιπατεῖτε, ˈἐρριζωμένοι καὶ 7 E 3,17. E 2,22.
ἐποικοδομούμενοι ἐν αὐτῷ καὶ βεβαιούμενοι τῇ
πίστει καθὼς ἐδιδάχθητε, περισσεύοντες [ἐν αὐτῇ]
ἐν εὐχαριστίᾳ. Βλέπετε μή τις ὑμᾶς ἔσται ὁ 8 20.
συλαγωγῶν διὰ τῆς φιλοσοφίας καὶ κενῆς ἀπάτης
κατὰ τὴν παράδοσιν τῶν ἀνθρώπων, κατὰ τὰ

---

*27 ὅ* : hTW ος 2,*1* R(W?) *Λαοδικεια* | R *εωρακαν* *2* HW *συνβιβ.* | W *του θεου Χριστου* h[s] *prob error pro του εν Χριστω* *4* W *τουτο δε* *6* W *Χριστόν*, (sic) *7* TW— [*εν αυτη*] *8* h *εσται υμας*

---

*27 τουτου* : *του θεου* *28* — *παντ. ανθρ.* 2° | fin + *Ιησου* 2,*1 υπερ* : *περι* | *Λαοδικια* : + *και των εν Ιεραπολει* *2 συμβιβασθεντων* | *παντα πλουτον* *3 και* : + *της* *4 μη τις* *7 τη* : pr *εν*

17. J 1,14.16. 9 στοιχεῖα τοῦ κόσμου καὶ οὐ κατὰ Χριστόν· ὅτι
ἐν αὐτῷ κατοικεῖ πᾶν τὸ πλήρωμα τῆς θεότητος
E 1,21. 10 σωματικῶς, ¹καὶ ἐστὲ ἐν αὐτῷ πεπληρωμένοι, ὅς
1 P 3,21. R 2,29. 11 ἐστιν ἡ κεφαλὴ πάσης ἀρχῆς καὶ ἐξουσίας, ἐν ᾧ
καὶ περιετμήθητε περιτομῇ ἀχειροποιήτῳ ἐν τῇ
ἀπεκδύσει τοῦ σώματος τῆς σαρκός, ἐν τῇ περι-
3,1. R 6,4. 12 τομῇ τοῦ Χριστοῦ, συνταφέντες αὐτῷ ἐν τῷ βαπ-
τίσματι, ἐν ᾧ καὶ συνηγέρθητε διὰ τῆς πίστεως
τῆς ἐνεργείας τοῦ θεοῦ τοῦ ἐγείραντος αὐτὸν ἐκ
E 2,1.5. 13 νεκρῶν· καὶ ὑμᾶς νεκροὺς ὄντας τοῖς παραπτώ-
μασιν καὶ τῇ ἀκροβυστίᾳ τῆς σαρκὸς ὑμῶν, συνε-
ζωοποίησεν ὑμᾶς σὺν αὐτῷ, χαρισάμενος ἡμῖν
E 2,15. 1 P 2,24. 14 πάντα τὰ παραπτώματα, ἐξαλείψας τὸ καθ᾽ ἡμῶν
χειρόγραφον τοῖς δόγμασιν ὃ ἦν ὑπεναντίον ἡμῖν,
καὶ αὐτὸ ἦρκεν ἐκ τοῦ μέσου, προσηλώσας αὐτὸ
1,18. 15 τῷ σταυρῷ· ἀπεκδυσάμενος τὰς ἀρχὰς καὶ τὰς
ἐξουσίας ἐδειγμάτισεν ἐν παρρησίᾳ, θριαμβεύσας
R 14,1–12. 16 αὐτοὺς ἐν αὐτῷ. Μὴ οὖν τις ὑμᾶς κρινέτω
ἐν βρώσει ἢ ἐν πόσει ἢ ἐν μέρει ἑορτῆς ἢ νου-
H 8,5; 10,1. 17 μηνίας ἢ σαββάτων, ἅ ἐστιν σκιὰ τῶν μελλόντων,
23. 18 τὸ δὲ σῶμα τοῦ Χριστοῦ. μηδεὶς ὑμᾶς καταβρα-
βευέτω θέλων ἐν ταπεινοφροσύνῃ καὶ θρησκείᾳ
τῶν ἀγγέλων, ἃ ἑόρακεν ἐμβατεύων, εἰκῇ φυσιού-
E 4,15.16. 19 μενος ὑπὸ τοῦ νοὸς τῆς σαρκὸς αὐτοῦ, καὶ οὐ
κρατῶν τὴν κεφαλήν, ἐξ οὗ πᾶν τὸ σῶμα διὰ
τῶν ἁφῶν καὶ συνδέσμων ἐπιχορηγούμενον καὶ
συνβιβαζόμενον αὔξει τὴν αὔξησιν τοῦ θεοῦ.
G 4,3.9. 20 Εἰ ἀπεθάνετε σὺν Χριστῷ ἀπὸ τῶν στοιχείων τοῦ

---

*12* W *βαπτισμω* | *εκ* : [R] W+ *των* *13 υμας* 2° : h *ημας* | *παραπτωματα* : T·W. *14* W *χειρογραφον,* | h *ημιν·* *15 εξουσιας* : W+ *και* | H *παρρησια θρ.* *16 η* 1° : ℌW *και* | HW *νεομηνιας* *17 α* : hW *ο* *18 θελων εν ταπεινοφρ.* : h[s] *fort εν εθελοταπεινοφροσυνη* | T *θρησκια* | *α εορακ. εμβατ.* : h[s] *prob pro ἀέρα (vl αἰώρα) κενεμβατευων*

---

*10 ος* : *ο* *11 σωμ.* : + *των αμαρτιων* *13 τοις et τη* : pr *εν* | — *υμας* 2° | *ημιν* : *υμιν* *15 αυτω* : *αὑτω* *18 α* : + *μη* *19 κεφ.* : + *Χριστον* *20 ει ουν*

κόσμου, τί ὡς ζῶντες ἐν κόσμῳ δογματίζεσθε· μὴ 21 G 6,8.
ἅψῃ μηδὲ γεύσῃ μηδὲ θίγῃς, ἅ ἐστιν πάντα εἰς 22 Is 29,13.
φθορὰν τῇ ἀποχρήσει, κατὰ τὰ **ἐντάλματα καὶ** Mt 15,9.
**διδασκαλίας τῶν ἀνθρώπων**; ἅτινά ἐστιν λόγον 23 R 13,14.
μὲν ἔχοντα σοφίας ἐν ἐθελοθρησκίᾳ καὶ ταπεινο- 1 T 4,3.
φροσύνῃ καὶ ἀφειδίᾳ σώματος, οὐκ ἐν τιμῇ τινι
πρὸς πλησμονὴν τῆς σαρκός. Εἰ οὖν συνηγέρ- 3 Ps 110,1.
θητε τῷ Χριστῷ, τὰ ἄνω ζητεῖτε, οὗ ὁ Χριστός 2,12.
ἐστιν **ἐν δεξιᾷ τοῦ θεοῦ καθήμενος**· τὰ ἄνω φρονεῖτε, 2 Mt 6,33.
μὴ τὰ ἐπὶ τῆς γῆς. ἀπεθάνετε γάρ, καὶ ἡ ζωὴ 3 R 6,2.
ὑμῶν κέκρυπται σὺν τῷ Χριστῷ ἐν τῷ θεῷ· ὅταν 4 1 K 15,43.
ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ ἡμῶν, τότε καὶ ὑμεῖς Ph 1,21. G 2,20.
σὺν αὐτῷ φανερωθήσεσθε ἐν δόξῃ.

Νεκρώσατε οὖν τὰ μέλη τὰ ἐπὶ τῆς γῆς, πορ- 5 R 6,6; 8,13.
νείαν, ἀκαθαρσίαν, πάθος, ἐπιθυμίαν κακήν, καὶ
τὴν πλεονεξίαν ἥτις ἐστὶν εἰδωλολατρεία, δι᾽ ἃ 6 E 5,6.
ἔρχεται ἡ ὀργὴ τοῦ θεοῦ· ἐν οἷς καὶ ὑμεῖς περιε- 7
πατήσατέ ποτε, ὅτε ἐζῆτε ἐν τούτοις· νυνὶ δὲ 8 E 4,31.29.
ἀπόθεσθε καὶ ὑμεῖς τὰ πάντα, ὀργήν, θυμόν,
κακίαν, βλασφημίαν, αἰσχρολογίαν ἐκ τοῦ στόμα-
τος ὑμῶν· μὴ ψεύδεσθε εἰς ἀλλήλους, ἀπεκδυ- 9 E 4,25.22.
σάμενοι τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν
αὐτοῦ, καὶ ἐνδυσάμενοι τὸν νέον τὸν ἀνακαινού- 10 E 4,24. Gn 1,27.
μενον εἰς ἐπίγνωσιν **κατ᾽ εἰκόνα τοῦ κτίσαντος**
αὐτόν, ὅπου οὐκ ἔνι Ἕλλην καὶ Ἰουδαῖος, περι- 11 G 3,28.
τομὴ καὶ ἀκροβυστία, βάρβαρος, Σκύθης, δοῦλος,
ἐλεύθερος, ἀλλὰ πάντα καὶ ἐν πᾶσιν Χριστός.
Ἐνδύσασθε οὖν, ὡς ἐκλεκτοὶ τοῦ θεοῦ ἅγιοι καὶ 12 1 P 2,9.
ἠγαπημένοι, σπλάγχνα οἰκτιρμοῦ, χρηστότητα,

---

*23* W εστιν, | RW εθελοθρησκεια | και 2° : [H] | h[s] [και] αφειδια ... σαρκος † 3,4 ημων : hT υμων 5 W κακὴν | H ειδωλολατρια 11 αλλα : RW+ τα 12 H θεου, | h—και

---

*23* ταπεινοφρ. : + του νοος 3,4 — συν αυτω 5 μελη : + υμων | — κακην 6 α : ο | fin + επι τους υιους της απειθειας 7 τουτοις : αυτοις 8 fin + μη εκπορευεσθω 11 ενι : + αρσεν και θηλυ | δουλ. : + και 12 — του | οικτιρμων

Mt 6,14. E 4,2.32. 13 ταπεινοφροσύνην, πραΰτητα, μακροθυμίαν, ⸀ἀνεχό-
μενοι ἀλλήλων καὶ χαριζόμενοι ἑαυτοῖς, ἐάν τις
πρός τινα ἔχῃ μομφήν· καθὼς καὶ ὁ κύριος ἐχαρί-
R 13,8.10. 14 σατο ὑμῖν οὕτως καὶ ὑμεῖς· ἐπὶ πᾶσιν δὲ τούτοις
τὴν ἀγάπην, ὅ ἐστιν σύνδεσμος τῆς τελειότητος.
Ph 4,7. 1 K 12,13.27. 15 καὶ ἡ εἰρήνη τοῦ Χριστοῦ βραβευέτω ἐν ταῖς
καρδίαις ὑμῶν, εἰς ἣν καὶ ἐκλήθητε ἐν ἑνὶ σώ-
E 5,19. 16 ματι· καὶ εὐχάριστοι γίνεσθε. ὁ λόγος τοῦ Χρι-
στοῦ ἐνοικείτω ἐν ὑμῖν πλουσίως ἐν πάσῃ σοφίᾳ·
διδάσκοντες καὶ νουθετοῦντες ἑαυτοὺς ψαλμοῖς,
ὕμνοις, ᾠδαῖς πνευματικαῖς, ἐν τῇ χάριτι ᾄδοντες
1 K 10,31. 17 ἐν ταῖς καρδίαις ὑμῶν τῷ θεῷ· καὶ πᾶν ὅ τι
ἐὰν ποιῆτε ἐν λόγῳ ἢ ἐν ἔργῳ, πάντα ἐν ὀνόματι
κυρίου Ἰησοῦ, εὐχαριστοῦντες τῷ θεῷ πατρὶ δι᾽
αὐτοῦ.
18—c 4,1: E 5,22—6,9. 18 Αἱ γυναῖκες, ὑποτάσσεσθε τοῖς ἀνδράσιν, ὡς
1 P 3,7. 19 ἀνῆκεν ἐν κυρίῳ. Οἱ ἄνδρες, ἀγαπᾶτε τὰς γυναῖ-
20 κας καὶ μὴ πικραίνεσθε πρὸς αὐτάς. Τὰ τέκνα,
ὑπακούετε τοῖς γονεῦσιν κατὰ πάντα, τοῦτο γὰρ
21 εὐάρεστόν ἐστιν ἐν κυρίῳ. Οἱ πατέρες, μὴ ἐρεθί-
22 ζετε τὰ τέκνα ὑμῶν, ἵνα μὴ ἀθυμῶσιν. Οἱ
δοῦλοι, ὑπακούετε κατὰ πάντα τοῖς κατὰ σάρκα
κυρίοις, μὴ ἐν ὀφθαλμοδουλίαις ὡς ἀνθρωπάρεσ-
κοι, ἀλλ᾽ ἐν ἁπλότητι καρδίας, φοβούμενοι τὸν
23 κύριον. ὃ ἐὰν ποιῆτε, ἐκ ψυχῆς ἐργάζεσθε ὡς
24 τῷ κυρίῳ καὶ οὐκ ἀνθρώποις, εἰδότες ὅτι ἀπὸ

---

*13 κυριος* : **hT** *χριστος* *15* **H** [*ενι*] *16 Χριστου* : **h** *κυριον* | **TW** *πλουσιως, εν π. σοφια διδ. κ. ν. εαυτους, ψ. υ. ω.* | **HW** *πνευματικαις εν* | *𝔎—τη* | **H** *χαριτι.* *17 εαν* : **T** *αν* *22* **RW** *οφθαλμοδουλειαις* **h** *-λιᾳ* | **TW** *καρδιας φοβ.*

---

*13 κυρ.* : *θεος* *14 ο* : *ος vl ητις* | *τελ.* : *ενοτητος* *15.16 Χρ.* : *θεου* *16 ψ. και υ. και ω.* | *εν τη καρδια* | *θεω* : *κυριω* *17 θεω και π.* *18 ανδρασιν* : pr *ιδιοις vl* + *υμων* *19 γυν.* : + *υμων* *20 εν* : *τω* *21 ερεθ.* : *παροργιζετε* *22 κυριον* : *θεον* *23 ο* : *και παν οτι* | *κυριω* : + *δουλευοντες*

κυρίου ἀπολήμψεσθε τὴν ἀνταπόδοσιν τῆς κλη-
ρονομίας· τῷ κυρίῳ Χριστῷ δουλεύετε· | ὁ γὰρ 25 R 2,11.
ἀδικῶν κομιεῖται ὃ ἠδίκησεν, καὶ οὐκ ἔστιν προσ-
ωπολημψία. Οἱ κύριοι, τὸ δίκαιον καὶ τὴν ἰσό- 4 Lv 25,43.53.
τητα τοῖς δούλοις παρέχεσθε, εἰδότες ὅτι καὶ
ὑμεῖς ἔχετε κύριον ἐν οὐρανῷ.
Τῇ προσευχῇ προσκαρτερεῖτε, γρηγοροῦντες ἐν 2 1 Th 5,17.
αὐτῇ ἐν εὐχαριστίᾳ, προσευχόμενοι ἅμα καὶ περὶ 3 R 15,30. E 6,19. 2 Th 3,1. 1 K 16,9.
ἡμῶν, ἵνα ὁ θεὸς ἀνοίξῃ ἡμῖν θύραν τοῦ λόγου,
λαλῆσαι τὸ μυστήριον τοῦ Χριστοῦ, δι' ὃ καὶ
δέδεμαι, ἵνα φανερώσω αὐτὸ ὡς δεῖ με λαλῆσαι. 4
Ἐν σοφίᾳ περιπατεῖτε πρὸς τοὺς ἔξω, τὸν καιρὸν 5 E 5,15.16. 1 Th 4,12.
ἐξαγοραζόμενοι. ὁ λόγος ὑμῶν πάντοτε ἐν χάριτι, 6 E 4,29. Mc 9,50. 1 P 3,15.
ἅλατι ἠρτυμένος, εἰδέναι πῶς δεῖ ὑμᾶς ἑνὶ ἑκάστῳ
ἀποκρίνεσθαι.
Τὰ κατ' ἐμὲ πάντα γνωρίσει ὑμῖν Τυχικὸς ὁ 7
ἀγαπητὸς ἀδελφὸς καὶ πιστὸς διάκονος καὶ σύν-
δουλος ἐν κυρίῳ, ὃν ἔπεμψα πρὸς ὑμᾶς εἰς αὐτὸ 8 E 6,22.
τοῦτο, ἵνα γνῶτε τὰ περὶ ἡμῶν καὶ παρακαλέσῃ
τὰς καρδίας ὑμῶν, σὺν Ὀνησίμῳ τῷ πιστῷ καὶ 9 Phm 10.
ἀγαπητῷ ἀδελφῷ, ὅς ἐστιν ἐξ ὑμῶν· πάντα ὑμῖν
γνωριοῦσιν τὰ ὧδε.
Ἀσπάζεται ὑμᾶς Ἀρίσταρχος ὁ συναιχμάλωτός 10 Act 19,29; 27,2. 18,27.
μου, καὶ Μᾶρκος ὁ ἀνεψιὸς Βαρνάβα, (περὶ οὗ
ἐλάβετε ἐντολάς, ἐὰν ἔλθῃ πρὸς ὑμᾶς, δέξασθε
αὐτόν,) | καὶ Ἰησοῦς ὁ λεγόμενος Ἰοῦστος, οἱ ὄντες 11
ἐκ περιτομῆς, οὗτοι μόνοι συνεργοὶ εἰς τὴν βα-
σιλείαν τοῦ θεοῦ, οἵτινες ἐγενήθησάν μοι παρη-
γορία. ἀσπάζεται ὑμᾶς Ἐπαφρᾶς ὁ ἐξ ὑμῶν, 12 1,7.

---

*24* TW *κληρονομιας.* *25* HW *κομισεται* 4,*3 Χριστου* : W *θεου* [*4* H invite *μὲ*] *7* H *Τύχικος* *9* HW *γνωρισουσιν* *10* T *, περι ... εντολας, — εαν ... αυτον, —* *11* TW *περιτομης ουτοι* *12* W *ο εξ υμων δουλος*

---

*24 κληρ. του κυριου ημων Ιησου Χριστου ω δουλευετε* *25* fin + *παρα τω θεω* 4,*1 ουρανοις* *2 — εν ευχαρ.* *3 λογου* : + *εν παρρησια* | *Χρ.* : *θεου* | *δ* : *ον* *8 γνω* et *υμων* *9* fin + *πραττομενα* *10 εντολας ... δεξασθαι*

δοῦλος Χριστοῦ Ἰησοῦ, πάντοτε ἀγωνιζόμενος ὑπὲρ
ὑμῶν ἐν ταῖς προσευχαῖς, ἵνα σταθῆτε τέλειοι καὶ
πεπληροφορημένοι ἐν παντὶ θελήματι τοῦ θεοῦ.
13 μαρτυρῶ γὰρ αὐτῷ ὅτι ἔχει πολὺν πόνον ὑπὲρ
ὑμῶν καὶ τῶν ἐν Λαοδικίᾳ καὶ τῶν ἐν Ἱεραπόλει.
2 T 4,10.11. 14 ἀσπάζεται ὑμᾶς Λουκᾶς ὁ ἰατρὸς ὁ ἀγαπητὸς καὶ
Phm 24. 15 Δημᾶς. Ἀσπάσασθε τοὺς ἐν Λαοδικίᾳ ἀδελφοὺς
καὶ Νυμφᾶν καὶ τὴν κατ' οἶκον αὐτῶν ἐκκλησίαν.
16 καὶ ὅταν ἀναγνωσθῇ παρ' ὑμῖν ἡ ἐπιστολή, ποιή-
σατε ἵνα καὶ ἐν τῇ Λαοδικέων ἐκκλησίᾳ ἀναγνωσθῇ,
καὶ τὴν ἐκ Λαοδικίας ἵνα καὶ ὑμεῖς ἀναγνῶτε.
Phm 2. 17 καὶ εἴπατε Ἀρχίππῳ· βλέπε τὴν διακονίαν ἣν
παρέλαβες ἐν κυρίῳ, ἵνα αὐτὴν πληροῖς.
1 K 16,21. 18 Ὁ ἀσπασμὸς τῇ ἐμῇ χειρὶ Παύλου. μνη-
2 Th 3,17. μονεύετέ μου τῶν δεσμῶν. ἡ χάρις μεθ' ὑμῶν.

---

*13* R *Λαοδικεια it 15, et 16 -κειας* | H *Ἱερᾷ Πολει* *15* HW *Νύμφαν* | *αυτων* : HW *αυτης* 1,2 W *παντοτε, π. π. υμων μν.* *4* [*του*] : T—RW

---

*12 στητε* | *πεπληρωμενοι* *13 πονον* : *κοπον vl ζηλον vl ποθον vl αγωνα* *15 αυτων* : *αυτου* *18* fin + *αμην* [*απο Ρωμης εγραφη δια Τυχικου και Ονησιμου*]

This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/